# Sample Language Exam

Greek

**Please prepare a good literary translation of the entire passage in the time allowed. Use of a dictionary is permitted. Choose <u>one</u> of the two passages.**

**<u>Time allowed: 2 Hours</u>**

ANAB. *Α* VIII 28—IX 11

PASSAGE I

**IX** *Κῦρος μὲν οὖν οὕτως ἐτελεύτησεν, ἀνὴρ ὢν Περσῶν
τῶν μετὰ Κῦρον τὸν ἀρχαῖον γενομένων βασιλικώτατός
τε καὶ ἄρχειν ἀξιώτατος, ὡς παρὰ πάντων ὁμολογεῖται
2 τῶν Κύρου δοκούντων ἐν πείρᾳ γενέσθαι. πρῶτον μὲν
γὰρ ἔτι παῖς ὢν ὅτ᾽ ἐπαιδεύετο καὶ σὺν τῷ ἀδελφῷ καὶ
σὺν τοῖς ἄλλοις παισί, πάντων πάντα κράτιστος ἐνομίζετο.
3 πάντες γὰρ οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς
βασιλέως θύραις παιδεύονται· ἔνθα πολλὴν μὲν σωφρο-
σύνην καταμάθοι ἄν τις, αἰσχρὸν δ᾽ οὐδὲν οὔτ᾽ ἀκοῦσαι
4 οὔτ᾽ ἰδεῖν ἔστι. θεῶνται δ᾽ οἱ παῖδες καὶ τιμωμένους ὑπὸ
βασιλέως καὶ ἀκούουσι, καὶ ἄλλους ἀτιμαζομένους, ὥστε
εὐθὺς παῖδες ὄντες μανθάνουσιν ἄρχειν τε καὶ ἄρχεσθαι.
5 ἔνθα Κῦρος αἰδημονέστατος μὲν πρῶτον τῶν ἡλικιωτῶν
ἐδόκει εἶναι, τοῖς τε πρεσβυτέροις καὶ τῶν ἑαυτοῦ ὑποδε-
εστέρων μᾶλλον πείθεσθαι, ἔπειτα δὲ φιλιππότατος καὶ*

---

*τοῖς ἵπποις ἄριστα χρῆσθαι· ἔκρινον δ᾽ αὐτὸν καὶ τῶν εἰς
τὸν πόλεμον ἔργων, τοξικῆς τε καὶ ἀκοντίσεως, φιλομα-
θέστατον εἶναι καὶ μελετηρότατον. ἐπεὶ δὲ τῇ ἡλικίᾳ* 6
*ἔπρεπε, καὶ φιλοθηρότατος ἦν καὶ πρὸς τὰ θηρία μέντοι
φιλοκινδυνότατος. καὶ ἄρκτον ποτὲ ἐπιφερομένην οὐκ
ἔτρεσεν, ἀλλὰ συμπεσὼν κατεσπάσθη ἀπὸ τοῦ ἵππου, καὶ
τὰ μὲν ἔπαθεν, ὧν καὶ τὰς ὠτειλὰς [φανερὰς] εἶχεν,
τέλος δὲ κατέκανε· καὶ τὸν πρῶτον μέντοι βοηθήσαντα
πολλοῖς μακαριστὸν [εἶναι] ἐποίησεν. ἐπεὶ δὲ κατεπέμφθη* 7
*ὑπὸ τοῦ πατρὸς σατράπης Λυδίας τε καὶ Φρυγίας τῆς
μεγάλης καὶ Καππαδοκίας, στρατηγὸς δὲ καὶ πάντων
ἀπεδείχθη οἷς καθήκει εἰς Καστωλοῦ πεδίον ἀθροίζεσθαι,
πρῶτον μὲν ἐπέδειξεν αὑτὸν ὅτι περὶ πλείστου ποιοῖτο, εἴ
τῳ σπείσαιτο καὶ εἴ τῳ σύνθοιτο καὶ εἴ τῳ ὑπόσχοιτό τι,
μηδὲν ψεύδεσθαι. καὶ γὰρ οὖν ἐπίστευον μὲν αὐτῷ αἱ* 8
*πόλεις ἐπιτρεπόμεναι, ἐπίστευον δ᾽ οἱ ἄνδρες· καὶ εἴ τις
πολέμιος ἐγένετο, σπεισαμένου Κύρου ἐπίστευε μηδὲν ἂν
παρὰ τὰς σπονδὰς παθεῖν.*

PASSAGE II



4 Δημοτικώτατος δ' εἶναι δοκῶν ὁ Πεισίστρατος καὶ σφόδρ'
εὐδοκιμηκὼς ἐν τῷ πρὸς Μεγαρέας πολέμῳ, κατατραυ-
ματίσας ἑαυτὸν συνέπεισε τὸν δῆμον, ὡς ὑπὸ τῶν ἀντι-
στασιωτῶν ταῦτα πεπονθώς, φυλακὴν ἑαυτῷ δοῦναι τοῦ
σώματος, Ἀριστίωνος γράψαντος τὴν γνώμην. λαβὼν δὲ
τοὺς κορυνηφόρους καλουμένους, ἐπαναστὰς μετὰ τούτων
τῷ δήμῳ κατέσχε τὴν ἀκρόπολιν ἔτει δευτέρῳ καὶ τριακοστῷ
2 μετὰ τὴν τῶν νόμων θέσιν ἐπὶ Κωμέου ἄρχοντος. λέγεται
δὲ Σόλωνα, Πεισιστράτου τὴν φυλακὴν αἰτοῦντος, ἀντιλέξαι
καὶ εἰπεῖν ὅτι τῶν μὲν εἴη σοφώτερος, τῶν δ' ἀνδρειότερος·
ὅσοι μὲν γὰρ ἀγνοοῦσι Πεισίστρατον ἐπιτιθέμενον τυραν-
νίδι, σοφώτερος εἶναι τούτων, ὅσοι δ' εἰδότες κατασιωπῶσιν,
ἀνδρειότερος. ἐπεὶ δὲ λέγων [οὐκ ἔ]πειθεν, ἐξαράμενος τὰ
ὅπλα πρὸ τῶν θυρῶν αὐτὸς μὲν ἔφη βεβοηθηκέναι τῇ
πατρίδι καθ' ὅσον ἦν δυνατός (ἤδη γὰρ σφόδρα πρεσβύτης
3 ἦν), ἀξιοῦν δὲ καὶ τοὺς ἄλλους ταὐτὸ τοῦτο ποιεῖν. Σόλων
μὲν οὖν οὐδὲν ἤνυσεν τότε παρακαλῶν· Πεισίστρατος δὲ
λαβὼν τὴν ἀρχὴν διῴκει τὰ κοινὰ πολιτικῶς μᾶλλον ἢ

τυραννικῶς. οὔπω δὲ τῆς ἀρχῆς ἐρριζωμένης ὁμοφρονή-
σαντες οἱ περὶ τὸν Μεγακλέα καὶ τὸν Λυκοῦργον ἐξέβαλον
αὐτὸν ἕκτῳ ἔτει μετὰ τὴν πρώτην κατάστασιν ἐφ' Ἡγησίου
ἄρχοντος. ἔτει δὲ δωδεκάτῳ μετὰ ταῦτα περιελαυνόμενος ὁ 4
Μεγακλῆς τῇ στάσει, πάλιν ἐπικηρυκευσάμενος πρὸς τὸν
Πεισίστρατον ἐφ' ᾧ τε τὴν θυγατέρα αὐτοῦ λήψεται, κατή-
γαγεν αὐτὸν ἀρχαίως καὶ λίαν ἁπλῶς. προδιασπείρας γὰρ
λόγον ὡς τῆς Ἀθηνᾶς καταγούσης Πεισίστρατον, καὶ γυναῖκα
μεγάλην καὶ καλὴν ἐξευρών, ὡς μὲν Ἡρόδοτός φησιν, ἐκ
τοῦ δήμου τῶν Παιανιέων, ὡς δ' ἔνιοι λέγουσιν ἐκ τοῦ
Κολλυτοῦ στεφανόπωλιν Θρᾶτταν, ᾗ ὄνομα Φύη, τὴν θεὸν
ἀπομιμησάμενος τῷ κόσμῳ συνεισήγαγεν μετ' αὐτοῦ· καὶ
ὁ μὲν Πεισίστρατος ἐφ' ἅρματος εἰσήλαυνε παραιβατούσης
τῆς γυναικός, οἱ δ' ἐν τῷ ἄστει προσκυνοῦντες ἐδέχοντο
θαυμάζοντες.